desperatis misericordiam impertiri, eosque ad ovilis unitatem reducere, in Christo Jesu Domino nostro, per quem, & cum quo, Patri gloria & potestas cum sanctissimo Spiritu, nunc & semper, & in sæcula sæculorum. Amen.

# EJUSDEM SANCTI PATRIS EPHRAEM SYRI

## De Passionibus Animi.

Cupio exponere omnem meam acerbitatem, omnemque malitiam, atque insipientiam, coram gloria tua, Christe Salvator. Dicam rursus omnem tuam jucunditatem, atque dulcedinem, quam in me propter te demonstrasti, clementissime hominum amator. Ab utero matris meæ factus sum exacerbator, & contemtor gratiæ tuæ, & ad bonum tardus. Verum tu, Domine, universam meam malitiam despexisti propter multas miserationes tuas, Fili Dei. Erigitur mihi caput mediante gratia tua, Domine; verum quotidie propter peccata mea demittitur. Ad vitam me rursus eadem tua gratia allicit; sed ego ad mortem promtior pergo. Nam hæc pessima ignaviæ consuetudo me ad se attrahit, dum ipsi pareo. Gravis sane est, & pessima passionum consuetudo. Perstringit enim tamquam indissolubilibus vinculis mentem, eademque semper optata ac desiderabilia mihi obtingunt vincula, quod sic laqueari velim. Ex consuetudine laqueis capior, illaqueatusque gaudeo. In acerbissimam profunditatem immersus, adhuc lætor. Vincula mea quotidie inimicus renovat: cernit enim me vinculorum meorum varietate delectari. Veterator inimicus meus non me devincit vinculis, quæ ego nolim; sed semper ejusmodi mihi laqueos nectit ad vincula, cujusmodi ego magna cum voluptate complector. Novit enim meæ voluntatis propositum esse vehementius, & in ictu oculi quæ voluerit vincula injicit. Hic ejulatus atque ploratus, & luctus: hoc probruum & confusio: quod ego vinculis propriæ voluntatis constrictus detinear. Cum enim unico momento conterere vincula possim, ac me a laqueis quibuscumque liberare; hoc facere recuso, negligentia atque socordia detentus, & passionibus tamquam consuetudini malo voluntatis proposito deserviens. Hoc gravius est & intolerabilius, ac dedecoris luctus, quod ad inimici mei voluntatem ego concurram. Vinculis constringor, quæ mihi ipse injicit, passionibusque immorior, in quibus

A ἀπεγνωσμένους ἐλεεῖν, καὶ εἰσάγειν εἰς τὴν συναρίθμησιν τῆς ποίμνης αὐτοῦ, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· δι' οὗ καὶ μεθ' οὗ, τῷ Πατρὶ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παναγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

# B ΤΟΥ ΑΥΤΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΕΦΡΑΙΜ ΤΟΥ ΣΥΡΟΥ

## ΠΕΡΙ ΤΩΝ ΠΑΘΩΝ.

Θέλω εἰπεῖν ἐνώπιον τῆς δόξης σου, Χριστὲ σωτὴρ, πᾶσαν πικρότητα ἐμὴν, πονηρίαν, ἀλογίαν· ἐρῶ πάλιν πᾶσάν σου τερπνότητα, γλυκύτητα, ἃ μετ' ἐμοῦ ἐποίησας ἕνεκέν σου, φιλάνθρωπε. Ἐκ κοιλίας μητρὸς ἐμῆς ἐγενόμην C παροξυντὴς, ἀθετητὴς τῆς χάριτός σου, ἀπρόθυμος εἰς ἀγαθόν. Αὐτὸς δὲ, ὦ Δέσποτα, ὑπερεῖδες πᾶσαν ἐμὴν πονηρίαν διὰ τοὺς πολλοὺς οἰκτιρμούς σου, Υἱὲ τοῦ Θεοῦ. Ἡ κεφαλή μου ἀνυψοῦται τῇ χάριτί σου, Δέσποτα· ταπεινοῦται δὲ καθεκάστην δι' ἐμὰς ἁμαρτίας. Ἕλκει με πάλιν αὕτη ἡ χάρις σου εἰς τὴν ζωὴν, κἀγὼ μᾶλλον εἰς θάνατον ἀπροθύμως βαδίζομαι· ὅτι αὕτη ἡ κακίστη συνήθεια τῆς χαυνότητος ἑλκύει με πρὸς D ἑαυτὴν, ἐμοῦ αὐτῇ πειθομένου. Δεινή ἐστιν ἡ τῶν παθῶν συνήθεια καὶ κακίστη, καὶ γὰρ δεσμεύει ὡς ἐν δεσμοῖς ἀλύτοις τὴν ἔννοιαν, καὶ ποθεινὰ εὑρίσκονται ἀεὶ ἐμοὶ καὶ τὰ δεσμὰ, ὅτι ἐγὼ οὕτως θέλω δεσμευθῆναι. Συνηθείαις δεδέσμευμαι τῶν παγίδων, καὶ χαίρω δεδεμένος. Βεβύθισμαι ἐν τῷ πικροτάτῳ βάθει, καὶ ἥδομαι. Καθεκάστην ἀνανεοῖ τὰ δεσμά μου ὁ Ἐχθρός· ὁρᾷ γάρ με χαι- E ρόμενον ἐν τοῖς ποικιλίοις δεσμοῖς μου. Πολύτεχνος τυγχάνει ὁ Ἐχθρός μου· οὐ δεσμεῖ με ἐν τοῖς δεσμοῖς οἵσπερ ἐγὼ οὐ βούλομαι, ἀλλ' ἀεὶ προσφέρει μοι τοιαῦτα δεσμὰ καὶ παγίδας, ἅσπερ ἐγὼ μετὰ πολλῆς ἡδύτητος δέχομαι. Γινώσκει γὰρ τὴν πρόθεσιν ἰσχυροτέραν μου εἶναι, καὶ ἐν ῥιπῇ ὀφθαλμοῦ φέρει δεσμὸν ὃν βούλεται. Τοῦτο κλαυθμός· τοῦτο πένθος· ὄνειδος καὶ αἰσχύνη· ὅτε F ἐγὼ πεπέδημαι ἐν τοῖς ἐμοῖς θελήμασι. Δυνάμενος γὰρ συντρῖψαι τὰ δεσμὰ μιᾷ ῥοπῇ καὶ γενέσθαι ἐλεύθερος ἀπὸ πασῶν τῶν παγίδων, οὐ βούλομαι τοῦτο πρᾶξαι χαυνότητι κρατούμενος, καὶ πάθεσιν ὡς ἔθεσι δουλούμενος τῇ προθέσει. Τοῦτό ἐστι δεινότερον, καὶ τὸ πένθος τῆς αἰσχύνης, ὅτι ἐγὼ συνέχομαι θελήμασι τοῦ Ἐχθροῦ μου. Δεσμεύομαι ἐν τοῖς δεσμοῖς ἐν οἷς αὐτὸς προσφέρει μοι,